12 *θεοδότους εὐχάς, περὶ κ[ρατί τ᾽ ὀ]πά[σσαι]ς*
*γλαυκὸν Αἰτωλίδος*
14 *ἄνδημ᾽ ἐλαίας*
*ἐν Πέλοπος Φρυγίου*
16 *κλεινοῖς ἀέθ|λοις.*

## 9 (8)

## *ΑΥΤΟΜΗΔΕΙ ΦΛΕΙΑΣΙΩΙ*

### *ΠΕΝΤΑΘΛΩΙ ΝΕΜΕΑ*

metrum: dactyloepitr (v. p. XXIV) *Α′–Δ′*
*ΣΤΡ* e_D⁝_E||³_D_e_|
⁴e_D_|E||⁶_D_|E||⁸_E_|E_e_|||
*ΕΠ* _e_D|e_D_e|
³_E_|E|⁵D_E|⁷E_E_|||

*Α′* 1 *Δόξαν, ὦ χρυσαλάκατοι Χάρι[τ]ες,*
*πεισίμβροτον δοίητ᾽, ἐπεί*
3 *Μουσᾶν γε ἰοβ|λεφάρων θεῖος προφ[άτ]ας*
*εὔτυκος Φλειοῦντά τε καὶ Νεμεαίου*
*Ζηνὸς εὐθαλὲς πέδον*
6 *ὑμνεῖν, ὅθι μηλοδαΐκταν*
*θρέψεν ἁ λευκώλε[νο]ς*
8 *Ἥρα περι[κ|λει]τῶν ἀέθ|λων*
*πρῶτον [Ἡ]ρ[α]κ|λεῖ βαρύφθογγον λέοντα.*
1 *κε[ῖθι φοι]νικάσπιδες ἡμίθεοι*
*πρ[ώτιστ]ον Ἀργείων κριτοί*